*ἐβούλοντο, χρυσὸν δὲ καὶ ἄργυρον ἡγοῦντο γῆς ἀκάρπου καὶ διεφθαρμένης χρώματα νοσώδη καὶ κηλῖδας ἐξανθεῖν ὥσπερ μώλωπας ὑπὸ πυρὸς ῥαπισθείσης· ἐλέφαντι δὲ παίζοντες μὲν ἔσθ' ὅπου προσεχρῶντο ποικίλματι τρυφῆς.*

## *ΠΕΡΙ ΦΙΛΙΑΣ ΕΠΙΣΤΟΛΗ*

159.

Stobaeus 2. 31. 82 (2 p. 215 W.). *ἐκ τῆς Περὶ φιλίας ἐπιστολῆς.*

*Ἡ παιδεία, κἂν μηδὲν ἕτερον ἀγαθὸν ἔχῃ, τό γε συμφοιτᾶν ⟨δι'⟩ αὐτὴν νυκτὸς καὶ ἡμέρας ἔξω κακίας, οἷς ἂν ᾖ τις αἰδώς· καὶ πολλοὶ σφᾶς αὐτοὺς καὶ ἄλλους* **

160.

Stobaeus 2. 46. 15 (2 p. 262 W.). *ἐκ τῆς Περὶ φιλίας ἐπιστολῆς.*

*Ὡς μέντοι λαμπρόν ἐστιν εὖ ποιεῖν, οὕτως ἀμειπτέον, ἵνα μὴ μόνον ἀχαριστίας ὄφλῃ τις δίκην, ἀλλὰ καὶ βλάβους κοινοῦ τῶν εὖ πεισομένων εἰσαῦθις ἑτέρων ἀνακοπῇ πρὸς εὐεργεσίαν.*

161.

Stobaeus 3. 2. 34 (3 p. 186 H.). *ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403572894/106 UNIVERSITÄT LEIPZIG